# 0345-0407 - Iohannes Chrysostomus - In sanctum Stephanum i

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 254 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In sanctum Stephanum i

[00001] Εἰς τὸν ἅγιον Στέφανον α΄.

63.929

[00002] Σεμνύνει μὲν τοὺς εὐδοκίμους ἀθλητὰς τῶν διηνυσμένων αὐτοῖς ἀγώνων ἡ μνήμη·

[00003] κοσμείτω δέ γε αὐτοὺς καὶ ὁ ἡμέτερος λόγος, καθ' ὅσον οἷόν τε, διὰ τῆς εἰς αὐτοὺς [63.930] εὐφημίας ἀνακηρύττων τὰ ἐκείνων κατορθώματα·

[00004] ἀρκοῦσα γὰρ παίδευσις τῶν ἡμετέρων τρόπων τῆς ἐκείνων ἀρετῆς ἡ ὑπόμνησις.

[00005] Ἀρχὴν τοίνυν ποιήσωμεν εἰς τοὺς [63.931] Δεσποτικοὺς ἀθλητὰς ἐγκωμίων τὸν πρῶτον ἀνοίξαντα τὸ τῆς εὐσεβείας στάδιον, καὶ πρῶτον καταρξάμενον τῶν ἀθλητικῶν γυμνασίων.

[00006] Ἤλειψεν αὐτὸν ἡ χάρις τοῦ Πνεύματος, ἐπαιδοτρίβησε δὲ πρὸς τὰ παλαίσματα ὁ ἀγωνοθέτης ὁ οὐράνιος, οὐ σώματι πυκτεύοντα, οὐδὲ τὰς χεῖρας εἰς ἅμιλλαν προβαλλόμενον, ἀλλὰ τὴν γλῶτταν ἀκονῶν κατὰ τῶν ταῖς χερσὶ πολεμούντων.

[00007] Ἴδωμεν τοίνυν τὸν ἀθλητὴν, ὅπως ἐν ἅπασι μιμητὴς ἀνεφάνη τοῦ Δεσπότου·

[00008] τοὺς γὰρ αὐτοὺς εἶχεν ἀνταγωνιστὰς καὶ κατ' ἐκείνου θρασυνομένους·

[00009] ἀλλ' ὅμως οὐκ ἐνέπλησεν αὐτοῖς τὴν ὠμότητα τὸ σωτήριον πάθος, ἀλλ' ἔτι διψῶσιν αἵματος οἱ πρώην Δεσποτικὸν αἷμα ἐκχέαντες, καὶ φρονοῦσιν ὁμοίως κατὰ τῶν δούλων οἱ τὸν Δεσποτικὸν ἐργασάμενοι φόνον.

[00010] Προβαλλώμεθα τοίνυν τῷ λόγῳ τὸν δόκιμον ἀθλητήν.

[00011] Καὶ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν ἡνίκα ἂν οἱ στεφανῖται κρίνωνται, εἰώθασι τοὺς ἐξειλεγμένους καὶ προκρίτους εἰσάγειν εἰς τὰ παλαίσματα, ἵνα τὸν κατὰ τὴν ῥώμην ἐφάμιλλον ὁ εὐδόκιμος ἀναῤῥηθῇ στεφανίτης.

[00012] Ἐνταῦθα δὲ λέγε, Ὁ πρῶτος προμαχὼν, τῆς εὐσεβείας ὁ πύργος ὁ ἀκαταγώνιστος (ταῦτα γὰρ προσειπὼν πάντα τις αὐτὸν οὐκ ἂν ἁμάρτοι) παιδευτὴς ἐγένετο τῶν μετ' αὐτὸν ἀγωνισαμένων διὰ τῶν οἰκείων πόνων, καὶ πρῶτος ἁρπάσας τοὺς στεφάνους, εὐχειρώτους ἔδειξε καὶ τοῖς ἑξῆς τοὺς πολεμοῦντας, τοῦ σώματος μόνον καταστοχαζομένους, τὴν δὲ ψυχὴν ἄτρωτον καταλιμπάνοντας·

[00013] Μὴ φοβηθῆτε γὰρ, φησὶν, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

[00014] Ἐκείνης τοίνυν τῆς θείας φωνῆς μεμνημένος τῆς ἀλειφούσης αὐτὸν εἰς τὰ παλαίσματα, οὕτως ἀπεδύσατο πρὸς τοὺς ἀγῶνας ὁ ἀθλητὴς, καὶ τῇ γλώσσῃ τιτρώσκων τοὺς τὸ σῶμα τοῖς λίθοις κατατοξεύοντας, ἐδείκνυτο τοῖς λόγοις τῶν ἐκείνων βελῶν δυνατώτερος·

[00015] καὶ τῷ μὲν σώματι ἐδέχετο τὰ διὰ τῶν λίθων τραύματα, τοῖς δέ γε ῥήμασι πικρότερον ἐτίτρωσκε τοὺς βάλλοντας, καὶ ἀνερέθιζε πρὸς τὸν κατ' αὐτοῦ πόλεμον, ἵνα συντομωτέραν αὐτῷ τὴν ὁδοιπορίαν κατασκευάσωσι τὴν εἰς οὐρανοὺς ἀναπέμπουσαν.

[00016] Καί μοι λογίζου τῶν βελῶν τὸ διάφορον·

[00017] οἱ μὲν γὰρ λίθοις τὸ σῶμα κατεχώννυον, ὁ δὲ τοῖς παρὰ τοῦ Πνεύματος ἑαυτῷ χορηγουμένοις ῥήμασι τῆς ἐκείνων καρδίας κατεστοχάζετο·

[00018] Οὐδεὶς γὰρ, φησὶν, ἠδύνατο ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει.

[00019] Ὦ γλώττης σάλπιγγος μεγαλοφωνοτέρας! ὦ ψυχῆς ἀκαταπλήκτου, παντὸς ἀδάμαντος στεῤῥοτέρας! δῆμον ἑώρα Ἰουδαϊκὸν καὶ ἐπισυνιστάμενον τῷ ἀθλητῇ, καὶ ὥσπερ τινὸς σκιᾶς θεώμενος, οὕτω κατεφρόνει τῶν παρόντων, καὶ τὰς τῶν λίθων νιφάδας δεχόμενος, κατὰ τοῦ σώματος ἠγάλλετο, ὥσπερ τινὸς αὐτῷ πύργου διὰ τῶν λίθων οἰκοδομουμένου, ὥστε δι' αὐτοῦ φθάσαι τὸν οὐρανόν.

[00020] Τί τοίνυν τῆς πέτρας ἐκείνης τῆς λογικῆς γένοιτ' ἂν δυνατώτερον;

[00021] τί δ' ἂν ὀφθείη τοῦ στύλου τῆς Ἐκκλησίας στεῤῥότερον;

[00022] τὸν ἀκλινῆ διέσωσεν ἡ πίστις·

[00023] καθάπερ τισὶν ἀσφαλεστάτοις ἐρείσμασιν ἐπερειδόμενος, οὕτω μεμένηκεν ἄτρωτος, τοῖς μὲν τραύμασι τὸ σῶμα ποικιλλόμενος, τῇ δὲ καρτερίᾳ τὴν ψυχὴν καλλωπιζόμενος, καὶ τῷ οἰκείῳ κάλλει πρὸς αὐτὸν τὸν οὐρανὸν ἁμιλλώμενος.

[00024] Επιτρέπετα

[00025] Ὥσπερ γὰρ ἐκεῖνος περικαλλὴς δείκνυται τῇ τῶν ἄστρων χορείᾳ διηνθισμένος, οὕτω δὴ καὶ ὁ θαυμάσιος οὗτος ἀθλητὴς τὸν χιτῶνα τὸν Δεσποτικὸν ἔχων, τοῖς τραύμασιν, ὡς ποικίλοις ἠμφιεσμένος ἐνδύμασιν, ὡραΐζετο, καὶ ἐγεγήθει τὰ στίγματα τοῦ Κυρίου ἐν τῷ σώματι βαστάζων ὥσπερ χαρακτῆρας Δεσποτικούς.

[00026] Οὐ περιήγαγον οἱ λίθοι τὸν ἀθλητὴν, ἀλλ' ὥσπερ τι φυτὸν οὐρανομῆκες ἐπὶ γῆς ἐῤῥιζωμένον, οὕτω καὶ ἀκαμπὴς ἐφυλάττετο, δεχόμενος τὰς τῶν λίθων βολὰς, καὶ μὴ καταπίπτων.

[00027] Τούτῳ γὰρ ἂν εἰκότως ἁρμόσειε τὸ προφητικὸν ἐκεῖνο λόγιον, ὅτι Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

[00028] Ἐφοινίσσετο μὲν οὖν τὸ σῶμα, καὶ περιεῤῥεῖτο τοῖς τῶν αἱμάτων ῥεύμασιν, ἐπάλληλα δεχόμενος τῶν λίθων τὰ κύματα, πολλῷ δὲ πλέον τῇ

[00029] [63.932] πίστει πετρούμενος.

[00030] Ἑώρα γὰρ πρὸς τὸν οὐράνιον ἀγωνοθέτην, τὸν τοῖς οἰκείοις ἀθληταῖς τὴν χεῖρα προτείνοντα, καὶ πρὸς οὐρανὸν αὐτοὺς ἕλκοντα, ὅπου τῶν ἀγώνων ἀπόκειται τὰ ἔπαθλα, ὅπου τῶν στεφάνων ἀνάῤῥησις γίνεται, καὶ κατὰ τὸν Παῦλον ἴσως βοᾷ·

[00031] Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων·

[00032] βάλλομαι, καὶ τιτρώσκω τοῖς ῥήμασι.

[00033] Μνημονεύσατε, φησὶ, τῶν πατέρων ὑμῶν τῶν τοὺς προφήτας καταλευσάντων·

[00034] Τίνα γὰρ, φησὶν, οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν;

[00035] Κακῆς διαδοχῆς γεγόνατε κληρονόμοι, τὴν ἐκείνων μανίαν ζηλώσαντες·

[00036] ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς·

[00037] τὴν πατρικὴν διεδέξασθε μιαιφονίαν.

[00038] Ταῦτα τοῦ στεφάνου τῶν Ἐκκλησιῶν τὰ ῥήματα, τοιαῦτα τοῦ στεφανίτου κατὰ τῶν ἐναντίων τὰ τοξεύματα·

[00039] καὶ καθάπερ ἄλσους τις ἀνεγείρων φλόγα, οὕτω δὴ καὶ ὁ πρωτομάρτυς πλέον καθ' ἑαυτοῦ τὴν ἐκείνων μανίαν ἐρέθιζεν.

[00040] Ἑώρα γὰρ τὸν ποθούμενον, καὶ ἐπόθει τὸν θεωρούμενον, καί τινα πρὸς αὐτοὺς ἴσως ἀπεφθέγγετο τοιαῦτα·

[00041] Τοῦ ἔξωθεν ἐνδύματος καταστοχάζεσθε, καὶ κατὰ τοῦ σώματος πέμπετε τοὺς λίθους·

[00042] ἀλλὰ λέληθεν ὑμᾶς, ὡς ἔοικεν, ὅτι δή μοι πληροῦτε τὸν πόθον.

[00043] Καὶ γὰρ καὶ αὐτὸς καὶ πρὸ τοῦ Παύλου σπεύδω τὸν ἔξωθεν ἄνθρωπον ἀπεκδύσασθαι, ἵνα γυμνῇ τῇ ψυχῇ πρὸς οὐρανὸν ἀναπτῶ, καὶ τὸ αἰθέριον πέλαγος περαιωσάμενος, συμβασιλεύσω τῷ Δεσπότῃ.

[00044] Οὗτος μόνος ὁ πλοῦς οὐκ ἔχει ναυάγιον, αὕτη ἡ θαλαττοπορία ἀχειμάστους διασώζει τοὺς πλέοντας·

[00045] ἀκινδύνως μου πλεῖ τὸ σκάφος·

[00046] οὐράνιον γὰρ ἔχω τὸν κυβερνήτην, τὸν τοῖς νοητοῖς αὐτοῦ πηδαλίοις κατευθύνοντα.

[00047] Φοινίξατέ μοι τὸ σῶμα τοῖς τραύμασι·

[00048] καὶ γὰρ τὸν Ἰωσὴφ χιτῶνα ἐφοίνιξαν τῷ αἵματι οἱ πατέρες ὑμῶν, ὡς καὶ ὑμεῖς.

[00049] Πρέπον γὰρ αὐτοῖς συνεχῶς λέγεσθαι τὸ παρὰ τοῦ μάρτυρος εἰρημένον.

[00050] Ἐκείνους ἐμιμήσασθε τοὺς τὴν κακὴν κληρονομίαν ὑμῖν καταλελοιπότας·

[00051] ἀλλὰ κἀκεῖνοι τὸν Ἰωσὴφ ἀποδόμενοι, διήμαρτον τῆς ἐλπίδος, καὶ οἱ τὸν σωματικὸν ναὸν λιθάζοντες, στεῤῥὸν ναὸν οἰκοδομεῖτε περικαλλέστερον·

[00052] ὁρᾷν αὐτοῦ μοι τὰ προπύλαια ἔπεισιν·

[00053] ἀπὸ γὰρ τῆς γῆς εἰς τὸν οὐρανὸν ἐστήρικται.

[00054] Ταῦτα γὰρ πρέποντα τῷ Στεφάνῳ τὰ ῥήματα, τῷ προπηδήσαντι τῶν ἀποστολικῶν λογάδων ἐπὶ τοὺς ἀγῶνας, καὶ ὀξυτέρῳ τῷ δρόμῳ φθάσαντι πρὸς τὸ τοῦ μαρτυρίου τέλος, τῷ ἐπὶ γῆς ἀγωνισαμένῳ, καὶ ἐν οὐρανοῖς ἀναῤῥηθέντι·

[00055] ὃς φθεγγομένους μὲν τοὺς πολεμίους ἐνίκα, λιθοβολούντων δὲ ὑπερηύχετο, καὶ ἐν τούτῳ τὸν Δεσπότην μιμούμενος, καί φησι πρὸς τὸν ἀγωνοθέτην·

[00056] Κύριε Ἰησοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου.

[00057] Διήνυσταί μου, φησὶν, ὁ ἀγών·

[00058] δέχου τοίνυν τὸν στεφανίτην ἐν οὐρανοῖς, ὑπόδεξαι ὁ ἀθλοθέτης τὸν ἀθλητήν·

[00059] ἐπὶ τοὺς στεφάνους γὰρ τρέχω, καὶ τῶν ἐνταῦθα ἀγώνων σπεύδω κομίσασθαι τὰ ἔπαθλα.

[00060] Τοσαῦτα ἡμᾶς ὁ πρωτομάρτυς εἱστίασε καὶ τοῖς ῥήμασιν εὐδόκιμος πεφηνὼς καὶ τοῖς παλαίσμασιν, ἡ κορυφὴ τῶν μαρτύρων, ὁ στέφανος τῶν Ἐκκλησιῶν, ὁ τὸν Δεσπότην ἐπειγόμενος φθάσαι τῷ δρόμῳ, καὶ τῷ ἐν οὐρανοῖς καλοῦντι ὑπακούσας δι' ἐκείνης τῆς θείας φωνῆς, Ὅπου εἰμὶ ἐγὼ, φησὶν, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός.

[00061] Τὰ ἄνω γὰρ, φησὶ, φρονεῖτε, οὗ ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Πατρὸς κάθηται.

[00062] Ἐκεῖνον ἐπόθει

[00063] Επιτρέπετα

[00064] τὸν θρόνον τὸν βασιλικὸν, πρὸς ἐκεῖνα ἔτρεχε τὰ βραβεῖα τῆς ἄνω κλήσεως, ἐκείνας ἐπόθει τὰς βασιλικὰς δωρεὰς τὰς παρὰ τοῦ ἐπουρανίου βασιλέως διανεμομένας τοῖς οἰκείοις αὐτοῦ ἀγωνισταῖς.

[00065] Τίς ἂν οὖν λόγος ἀρκέσειε τὸν τοσοῦτον καὶ τηλικοῦτον ἀθλητὴν πρὸς ἀξίαν σεμνῦναι τῷ λόγῳ, τὸν διὰ τῶν ἔργων κηρυττόμενον καὶ καθάπερ στήλην ἀνεξάλειπτον καταλελοιπότα τῶν οἰκείων κατορθωμάτων τὴν μνήμην;

[00066] Τούτου τὸν πόθον ζηλώσωμεν, καὶ τὴν ἀρετὴν μιμησώμεθα, ἵνα καὶ τῶν ἀποκειμένων στεφάνων ἀπολαύσωμεν, χάριτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

[00067] Ἀμήν.

[00068] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In sanctum Stephanum i**

**Litterarum Omnium Conspectus: 107 Litterae, quae repetitae sunt in 6,044 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 425 | Α | 0913 | 0 |
| β | 0946 | 21 | Β | 0914 | 0 |
| γ | 0947 | 91 | Γ | 0915 | 0 |
| δ | 0948 | 89 | Δ | 0916 | 0 |
| ε | 0949 | 301 | Ε | 0917 | 4 |
| ζ | 0950 | 14 | Ζ | 0918 | 0 |
| η | 0951 | 81 | Η | 0919 | 0 |
| θ | 0952 | 86 | Θ | 0920 | 1 |
| ι | 0953 | 232 | Ι | 0921 | 0 |
| κ | 0954 | 201 | Κ | 0922 | 6 |
| λ | 0955 | 154 | Λ | 0923 | 0 |
| μ | 0956 | 196 | Μ | 0924 | 2 |
| ν | 0957 | 556 | Ν | 0925 | 0 |
| ξ | 0958 | 22 | Ξ | 0926 | 0 |
| ο | 0959 | 437 | Ο | 0927 | 4 |
| π | 0960 | 174 | Π | 0928 | 9 |
| ρ | 0961 | 203 | Ρ | 0929 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| ς | 0962 | 275 | • | 0930 | 0 |
| σ | 0963 | 193 | Σ | 0931 | 3 |
| τ | 0964 | 564 | Τ | 0932 | 10 |
| υ | 0965 | 88 | Υ | 0933 | 1 |
| φ | 0966 | 57 | Φ | 0934 | 1 |
| χ | 0967 | 39 | Χ | 0935 | 2 |
| ψ | 0968 | 7 | Ψ | 0936 | 0 |
| ω | 0969 | 116 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 8 | | | 0 |
| ῥ | 8165 | 16 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 63 | έ | 8051 | 74 | ή | 8053 | 28 | ί | 8055 | 105 | ό | 8057 | 57 | ύ | 8059 | 49 | ώ | 8061 | 33 |
| ὰ | 8048 | 64 | ὲ | 8050 | 16 | ὴ | 80852 | 39 | ὶ | 8054 | 67 | ὸ | 8056 | 92 | ὺ | 8058 | 25 | ὼ | 8060 | 4 |
| ᾶ | 8118 | 3 | | | 0 | ῆ | 8134 | 31 | ῖ | 8150 | 45 | | | 0 | ῦ | 8166 | 48 | ῶ | 8182 | 62 |
| ἀ | 7936 | 77 | ἐ | 7952 | 63 | ἠ | 7968 | 3 | ἰ | 7984 | 23 | ὀ | 8000 | 2 | ὐ | 8016 | 50 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 5 | ἑ | 7953 | 4 | ἡ | 7969 | 10 | ἱ | 7985 | 12 | ὁ | 8001 | 22 | ὑ | 8017 | 13 | ὡ | 8033 | 8 |
| ἂ | 7938 | 6 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 7 | ἔ | 7956 | 14 | ἤ | 7972 | 0 | ἴ | 7988 | 2 | ὄ | 8004 | 0 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 1 | ἥ | 7973 | 0 | ἵ | 7989 | 6 | ὅ | 8005 | 7 | ὕ | 8021 | 9 | ὥ | 8037 | 5 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 1 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 4 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 2 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 11 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾳ | 8119 | 3 | | | 0 | ῃ | 8135 | 10 | | | 0 | | | 0 | | | 0 | ῳ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In sanctum Stephanum i**
**Verborum Omnium Conspectus: 588Verba, quae repetita sunt in 3,576,784 occasionibus**

---

**α** [00001]
**ἅγιον** [00001]
**ἁγίῳ** [00066]
**ἀγών** [00057]
**ἀγῶνας** [00014] [00054]
**ἀγωνισαμένῳ** [00054]
**ἀγωνισαμένων** [00012]
**ἀγωνισταῖς** [00064]
**ἀγωνοθέτην** [00030] [00055]
**ἀγωνοθέτης** [00006]
**ἀγώνων** [00002] [00030] [00059]
**ἀγῶσιν** [00011]
**ἀδάμαντος** [00019]
**ἀδήλως** [00031]
**ἀεὶ** [00066]
**ἀέρα** [00031]
**ἀθληταῖς** [00030]
**ἀθλητὰς** [00002] [00005]
**ἀθλητῇ** [00019]
**ἀθλητὴν** [00007] [00026] [00065]
**ἀθλητήν** [00010] [00058]
**ἀθλητὴς** [00014] [00025]
**ἀθλητικῶν** [00005]
**ἀθλοθέτης** [00058]
**αἰθέριον** [00043]
**αἷμα** [00009]
**αἵματι** [00048]
**αἵματος** [00009]
**αἱμάτων** [00028]
**αἰῶνας** [00066]
**ἀκαμπὴς** [00026]
**ἀκαταγώνιστος** [00012]
**ἀκαταπλήκτου** [00019]
**ἀκινδύνως** [00045]
**ἀκλινῆ** [00022]
**ἀκονῶν** [00006]
**ἀλειφούσης** [00014]
**ἀλλ** [00009] [00009] [00026]
**ἀλλὰ** [00006] [00042] [00051]
**ἄλσους** [00039]
**ἁμάρτοι** [00012]
**Ἀμήν** [00067]
**ἅμιλλαν** [00006]
**ἁμιλλώμενος** [00023]
**ἂν** [00011] [00012] [00020] [00021] [00027] [00065]
**ἀνακηρύττων** [00003]
**ἀναπέμπουσαν** [00015]
**ἀναπτῶ** [00043]
**ἀναῤῥηθέντι** [00054]
**ἀναῤῥηθῇ** [00011]
**ἀνάῤῥησις** [00030]
**ἀνεγείρων** [00039]
**ἀνεξάλειπτον** [00065]
**ἀνερέθιζε** [00015]
**ἀνεφάνη** [00007]
**ἀνθήσει** [00027]
**ἄνθρωπον** [00043]
**ἀνοίξαντα** [00005]
**ἀνταγωνιστὰς** [00008]
**ἀντιστῆναι** [00018]
**ἄνω** [00061] [00064]
**ἀξίαν** [00065]
**ἅπασι** [00007]
**ἀπεδύσατο** [00014]
**ἀπεκδύσασθαι** [00043]
**ἀπεφθέγγετο** [00040]
**ἀποδόμενοι** [00051]
**ἀποκειμένων** [00066]
**ἀπόκειται** [00030]
**ἀποκτεῖναι** [00013]
**ἀποκτεινόντων** [00013]
**ἀπολαύσωμεν** [00066]
**ἀποστολικῶν** [00054]
**ἀρετὴν** [00066]
**ἀρετῆς** [00004]
**ἀρκέσειε** [00065]
**ἀρκοῦσα** [00004]
**ἁρμόσειε** [00027]
**ἁρπάσας** [00012]
**Ἀρχὴν** [00005]
**ἄστρων** [00025]
**ἀσφαλεστάτοις** [00023]
**ἄτρωτον** [00012]
**ἄτρωτος** [00023]
**αὕτη** [00044]
**αὐτοῖς** [00002] [00009] [00049]
**αὐτὸν** [00006] [00012] [00012] [00014] [00023]
**αὐτὸς** [00043]
**αὐτοῦ** [00015] [00019] [00052] [00064]
**αὑτοῦ** [00046]
**αὐτοὺς** [00003] [00003] [00008] [00030] [00040]

**αὐτῷ** [00015] [00019]
**ἀχειμάστους** [00044]

**βάλλομαι** [00032]
**βάλλοντας** [00015]
**βασιλέως** [00064]
**βασιλικὰς** [00064]
**βασιλικὸν** [00064]
**βαστάζων** [00025]
**βελῶν** [00014] [00016]
**βοᾷ** [00030]
**βολὰς** [00026]
**βραβεῖα** [00064]

**γὰρ** [00004] [00008] [00011] [00012] [00013] [00017] [00018] [00025] [00027] [00030] [00034] [00040] [00043] [00046] [00048] [00049] [00053] [00054] [00059] [00061]
**γε** [00003] [00015]
**γεγόνατε** [00035]
**γένοιτ** [00020]
**γῆς** [00026] [00053] [00054]
**γίνεται** [00030]
**γλώσσῃ** [00014]
**γλῶτταν** [00006]
**γλώττης** [00019]
**γυμνασίων** [00005]
**γυμνῇ** [00043]

**δ** [00021]
**δὲ** [00006] [00012] [00012] [00013] [00017] [00023] [00028] [00055]
**δέ** [00003] [00015]
**δείκνυται** [00025]
**δέξαι** [00056]
**δεξιᾷ** [00061]
**δέρων** [00031]
**Δεσπότῃ** [00043]
**Δεσπότην** [00055] [00060]
**Δεσποτικὸν** [00009] [00009] [00025]
**Δεσποτικοὺς** [00005]
**Δεσποτικούς** [00025]
**Δεσπότου** [00007]
**δεχόμενος** [00019] [00026] [00028]
**δέχου** [00058]
**δὴ** [00025] [00039]
**δή** [00042]
**δῆμον** [00019]
**δι** [00019] [00060]
**διὰ** [00003] [00012] [00015] [00019] [00065]
**διαδοχῆς** [00035]
**διάκονος** [00060]
**διανεμομένας** [00064]
**διασώζει** [00044]
**διάφορον** [00016]
**διεδέξασθε** [00037]
**διέσωσεν** [00022]
**διήμαρτον** [00051]
**διηνθισμένος** [00025]
**διηνυσμένων** [00002]
**Διήνυσταί** [00057]
**Δίκαιος** [00027]
**διψῶσιν** [00009]
**δόκιμον** [00010]
**δόξα** [00066]
**δούλων** [00009]
**δρόμῳ** [00054] [00060]
**δυναμένων** [00013]
**δυνατώτερον** [00020]
**δυνατώτερος** [00014]
**δωρεὰς** [00064]

**ἑαυτοῦ** [00039]
**ἑαυτῷ** [00017]
**ἐγεγήθει** [00025]
**ἐγένετο** [00012]
**ἐγκωμίων** [00005]
**ἐγὼ** [00060]
**ἐδείκνυτο** [00014]
**ἔδειξε** [00012]
**ἐδέχετο** [00015]
**ἐδίωξαν** [00034]
**εἰκότως** [00027]
**εἰμὶ** [00060]
**εἰρημένον** [00049]
**Εἰς** [00001]
**εἰς** [00003] [00005] [00006] [00011] [00014] [00015] [00053] [00066]
**εἰσάγειν** [00011]
**εἱστίασε** [00060]
**εἶχεν** [00008]
**εἰώθασι** [00011]
**ἐκεῖ** [00060]
**ἐκεῖνα** [00064]
**ἐκείνας** [00064]
**ἐκείνης** [00020] [00060]
**Ἐκείνης** [00014]
**ἐκεῖνο** [00027]
**Ἐκεῖνον** [00062]
**ἐκεῖνος** [00025]
**ἐκείνου** [00008]
**Ἐκείνους** [00050]
**ἐκείνων** [00003] [00004] [00014] [00017] [00035] [00039]
**Ἐκκλησίας** [00021]
**Ἐκκλησιῶν** [00038] [00060]
**ἐκχέαντες** [00009]
**ἐλάλει** [00018]
**ἕλκοντα** [00030]
**ἐλπίδος** [00051]
**ἐμιμήσασθε** [00050]
**ἐμός** [00060]
**ἐν** [00007] [00011] [00025] [00054] [00055] [00058] [00060] [00061]
**ἐναντίων** [00038]

**ἐνδύμασιν** [00025]
**ἐνδύματος** [00041]
**ἐνέπλησεν** [00009]
**ἐνίκα** [00055]
**ἐνταῦθα** [00059]
**Ἐνταῦθα** [00012]
**ἐξειλεγμένους** [00011]
**ἑξῆς** [00012]
**ἔξωθεν** [00011] [00041] [00043]
**ἔοικεν** [00042]
**ἔπαθλα** [00030] [00059]
**ἐπαιδοτρίβησε** [00006]
**ἐπάλληλα** [00028]
**ἐπειγόμενος** [00060]
**ἔπεισιν** [00052]
**ἐπερειδόμενος** [00023]
**ἐπὶ** [00026] [00054] [00054] [00059]
**ἐπισυνιστάμενον** [00019]
**Επιτρέπετα** [00024] [00063] [00068]
**ἐπόθει** [00040] [00062] [00064]
**ἐπουρανίου** [00064]
**ἐργασάμενοι** [00009]
**ἔργων** [00065]
**ἐρέθιζεν** [00039]
**ἐρείσμασιν** [00023]
**ἐῤῥιζωμένον** [00026]
**ἐστήρικται** [00053]
**ἔτι** [00009]
**ἐτίτρωσκε** [00015]
**ἔτρεχε** [00064]
**εὐδόκιμος** [00011] [00060]
**εὐδοκίμους** [00002]
**εὐσεβείας** [00005] [00012]
**εὐφημίας** [00003]
**εὐχειρώτους** [00012]
**ἐφάμιλλον** [00011]
**ἐφοίνιξαν** [00048]
**Ἐφοινίσσετο** [00028]
**ἐφυλάττετο** [00026]
**ἔχει** [00044]
**ἔχω** [00046]
**ἔχων** [00025]
**ἑώρα** [00019]
**Ἑώρα** [00030] [00040]

**ζηλώσαντες** [00035]
**ζηλώσωμεν** [00066]

**ἡ** [00002] [00004] [00006] [00022] [00044] [00060]
**ἠγάλλετο** [00019]
**ἠδύνατο** [00018]
**Ἤλειψεν** [00006]
**ἡμᾶς** [00060]
**ἡμέτερος** [00003]
**ἡμετέρων** [00004]
**ἠμφιεσμένος** [00025]
**ἡνίκα** [00011]

**θαλαττοπορία** [00044]
**θαυμάσιος** [00025]
**θείας** [00014] [00060]
**Θεοῦ** [00066]
**θεώμενος** [00019]
**θεωρούμενον** [00040]
**θρασυνομένους** [00008]
**θρόνον** [00064]

**Ἴδωμεν** [00007]
**Ἰησοῦ** [00056]
**ἵνα** [00011] [00015] [00043] [00066]
**Ἰουδαϊκὸν** [00019]
**ἴσως** [00030] [00040]
**Ἰωσὴφ** [00048] [00051]

**καθ** [00003] [00039]
**καθάπερ** [00023] [00039] [00065]
**κάθηται** [00061]
**κἀκεῖνοι** [00051]
**κακὴν** [00050]
**Κακῆς** [00035]
**κάλλει** [00023]
**καλλωπιζόμενος** [00023]
**καλοῦντι** [00060]
**καρδίας** [00017]
**καρτερίᾳ** [00023]
**κατ** [00008] [00015]
**καταλελοιπότα** [00065]
**καταλελοιπότας** [00050]
**καταλευσάντων** [00033]
**καταλιμπάνοντας** [00012]
**καταπίπτων** [00026]
**καταρξάμενον** [00005]
**κατασκευάσωσι** [00015]
**καταστοχάζεσθε** [00041]
**καταστοχαζομένους** [00012]
**κατατοξεύοντας** [00014]
**κατεστοχάζετο** [00017]
**κατευθύνοντα** [00046]
**κατεφρόνει** [00019]
**κατεχώννυον** [00017]
**κατορθώματα** [00003]
**κατορθωμάτων** [00065]
**κηρυττόμενον** [00065]
**κληρονομίαν** [00050]
**κληρονόμοι** [00035]
**κλήσεως** [00064]
**κομίσασθαι** [00059]

**κορυφὴ** [00060]
**κοσμείτω** [00003]
**κρίνωνται** [00011]
**κυβερνήτην** [00046]
**κύματα** [00028]
**Κύριε** [00056]
**Κυρίου** [00025]

**λέγε** [00012]
**λέγεσθαι** [00049]
**λέληθεν** [00042]
**λιθάζοντες** [00051]
**λιθοβολούντων** [00055]
**λίθοι** [00026]
**λίθοις** [00014] [00017]
**λίθους** [00041]
**λίθων** [00015] [00019] [00019] [00026] [00028]
**λογάδων** [00054]
**λογίζου** [00016]
**λογικῆς** [00020]
**λόγιον** [00027]
**λόγοις** [00014]
**λόγος** [00003] [00065]
**λόγῳ** [00010] [00065]

**μανίαν** [00035] [00039]
**μαρτυρίου** [00054]
**μάρτυρος** [00049]
**μαρτύρων** [00060]
**μεγαλοφωνοτέρας** [00019]
**μεθ** [00066]
**μεμένηκεν** [00023]
**μεμνημένος** [00014]
**μὲν** [00002] [00015] [00017] [00023] [00028] [00055]
**μετ** [00012]
**μιαιφονίαν** [00037]
**μιμησώμεθα** [00066]
**μιμητὴς** [00007]
**μιμούμενος** [00055]
**μνήμη** [00002]
**μνήμην** [00065]
**Μνημονεύσατε** [00033]
**μοι** [00016] [00042] [00047] [00052]
**μονογενοῦς** [00066]
**μόνον** [00012]
**μόνος** [00044]
**μου** [00045] [00056] [00057]

**ναὸν** [00051] [00051]
**ναυάγιον** [00044]
**νιφάδας** [00019]
**νοητοῖς** [00046]
**νῦν** [00066]

**ὁ** [00003] [00006] [00006] [00011] [00012] [00012] [00014] [00017] [00025] [00039] [00044] [00057] [00058] [00060] [00060] [00060] [00060] [00060] [00061]
**Ὁ** [00012]
**ὁδοιπορίαν** [00015]
**οἱ** [00009] [00009] [00011] [00017] [00026] [00034] [00036] [00048] [00051]
**οἰκείοις** [00030] [00064]
**οἰκείῳ** [00023]
**οἰκείων** [00012] [00065]
**οἰκοδομεῖτε** [00051]
**οἰκοδομουμένου** [00019]
**οἷόν** [00003]
**ὁμοίως** [00009]
**ὅμως** [00009]
**ὀξυτέρῳ** [00054]
**ὅπου** [00030] [00030]
**Ὅπου** [00060]
**ὅπως** [00007]
**ὁρᾷν** [00052]
**ὃς** [00055]
**ὅσον** [00003]
**ὅτι** [00027] [00042]
**Οὐ** [00026]
**οὐ** [00006]
**οὗ** [00061] [00066]
**οὐδὲ** [00006]
**Οὐδεὶς** [00018]
**οὐκ** [00009] [00012] [00031] [00031] [00034] [00044]
**οὖν** [00028] [00065]
**οὐράνιον** [00030] [00046]
**οὐράνιος** [00006]
**οὐρανοῖς** [00054] [00058] [00060]
**οὐρανομῆκες** [00026]
**οὐρανὸν** [00023] [00030] [00043] [00053]
**οὐρανόν** [00019]
**οὐρανοὺς** [00015]
**Οὗτος** [00044]
**οὗτος** [00025]
**Οὕτω** [00031]
**οὕτω** [00019] [00023] [00025] [00026] [00031] [00039]
**οὕτως** [00014]
**ὀφθείη** [00021]

**πάθος** [00009]
**παίδευσις** [00004]
**παιδευτὴς** [00012]
**παλαίσμασιν** [00060]
**παλαίσματα** [00006] [00011] [00014]
**πάντα** [00012]
**παντὸς** [00019]
**παρὰ** [00017] [00049] [00064]
**παρόντων** [00019]
**πατέρες** [00034] [00036] [00048]
**πατέρων** [00033]

**Πατρὶ** [00066]
**πατρικὴν** [00037]
**Πατρὸς** [00061]
**Παῦλον** [00030]
**Παύλου** [00043]
**πέλαγος** [00043]
**πέμπετε** [00041]
**περαιωσάμενος** [00043]
**περιεῤῥεῖτο** [00028]
**περιήγαγον** [00026]
**περικαλλέστερον** [00051]
**περικαλλὴς** [00025]
**πέτρας** [00020]
**πετρούμενος** [00029]
**πεφηνὼς** [00060]
**πηδαλίοις** [00046]
**πικρότερον** [00015]
**πίστει** [00029]
**πίστις** [00022]
**πλεῖ** [00045]
**πλέον** [00028] [00039]
**πλέοντας** [00044]
**πληροῦτε** [00042]
**πλοῦς** [00044]
**πνεῦμά** [00056]
**Πνεύματι** [00066]
**πνεύματι** [00018]
**Πνεύματος** [00006] [00017]
**πόθον** [00042] [00066]
**ποθούμενον** [00040]
**ποιήσωμεν** [00005]
**ποικιλλόμενος** [00023]
**ποικίλοις** [00025]
**πολεμίους** [00055]
**πόλεμον** [00015]
**πολεμοῦντας** [00012]
**πολεμούντων** [00006]
**πολλῷ** [00028]
**πόνων** [00012]
**Πρέπον** [00049]
**πρέποντα** [00054]
**πρὸ** [00043]
**προβαλλόμενον** [00006]
**Προβαλλώμεθα** [00010]
**προκρίτους** [00011]
**προμαχὼν** [00012]
**προπηδήσαντι** [00054]
**προπύλαια** [00052]
**πρὸς** [00006] [00014] [00015] [00023] [00030] [00030] [00040] [00043] [00054] [00055] [00064] [00065]
**προσειπὼν** [00012]
**προτείνοντα** [00030]
**προφήτας** [00033]
**προφητικὸν** [00027]
**πρώην** [00009]
**πρωτομάρτυς** [00039] [00060]
**πρῶτον** [00005] [00005]
**πρῶτος** [00012] [00012]
**πυκτεύοντα** [00006]
**πυκτεύω** [00031]
**πύργος** [00012]
**πύργου** [00019]

**ῥεύμασιν** [00028]
**ῥήμασι** [00015] [00017] [00032]
**ῥήμασιν** [00060]
**ῥήματα** [00038] [00054]
**ῥώμην** [00011]

**σάλπιγγος** [00019]
**σεμνῦναι** [00065]
**Σεμνύνει** [00002]
**σκάφος** [00045]
**σκιᾶς** [00019]
**σοφίᾳ** [00018]
**σπεύδω** [00043] [00059]
**στάδιον** [00005]
**στεῤῥὸν** [00051]
**στεῤῥοτέρας** [00019]
**στεῤῥότερον** [00021]
**στεφανῖται** [00011]
**στεφανίτην** [00058]
**στεφανίτης** [00011]
**στεφανίτου** [00038]
**Στέφανον** [00001]
**στέφανος** [00060]
**στεφάνου** [00038]
**στεφάνους** [00012] [00059]
**Στεφάνῳ** [00054]
**στεφάνων** [00030] [00066]
**στήλην** [00065]
**στίγματα** [00025]
**στύλου** [00021]
**συμβασιλεύσω** [00043]
**σὺν** [00066]
**συνεχῶς** [00049]
**συντομωτέραν** [00015]
**σῶμα** [00013] [00014] [00017] [00023] [00028] [00047]
**σώματι** [00006] [00015] [00025]
**σωματικὸν** [00051]
**σώματος** [00012] [00019] [00041]
**σωτήριον** [00009]

**Τὰ** [00061]
**τὰ** [00003] [00006] [00011] [00014] [00015] [00025] [00028] [00030] [00038] [00038] [00052] [00054] [00059] [00064]
**ταῖς** [00006]
**τὰς** [00006] [00019] [00026] [00064] [00064]
**Ταῦτα** [00038] [00054]
**ταῦτα** [00012]
**τε** [00003]
**τέλος** [00054]

τῇ [00014] [00018] [00023] [00025] [00028] [00043]
τηλικοῦτον [00065]
τὴν [00006] [00009] [00011] [00012] [00013] [00015] [00015] [00023] [00030] [00035] [00037] [00039] [00050] [00065] [00066]
τῆς [00003] [00004] [00005] [00012] [00014] [00014] [00017] [00020] [00020] [00021] [00051] [00053] [00060] [00064]
Τί [00020]
τί [00021]
τι [00026]
Τίνα [00034]
τινα [00040]
τινὸς [00019] [00019]
Τίς [00065]
τις [00012] [00039]
τισὶν [00023]
τιτρώσκω [00032]
τιτρώσκων [00014]
τὸ [00005] [00009] [00013] [00014] [00016] [00017] [00023] [00027] [00028] [00043] [00045] [00047] [00049] [00054] [00056]
τοιαῦτα [00038] [00040]
τοίνυν [00005] [00007] [00010] [00014] [00020] [00058]
τοῖς [00011] [00012] [00014] [00014] [00015] [00017] [00023] [00025] [00028] [00030] [00032] [00046] [00047] [00060] [00060] [00064]
τὸν [00001] [00005] [00007] [00009] [00010] [00011] [00015] [00019] [00022] [00023] [00025] [00025] [00026] [00030] [00030] [00030] [00040] [00040] [00042] [00043] [00046] [00046] [00048] [00051] [00051] [00053] [00055] [00055] [00058] [00058] [00060] [00064] [00064] [00065] [00065] [00066]
τοξεύματα [00038]
Τοσαῦτα [00060]
τοσοῦτον [00065]
Τοῦ [00041]
τοῦ [00006] [00007] [00012] [00017] [00019] [00021] [00025] [00038] [00038] [00041] [00043] [00049] [00054] [00061] [00064] [00066] [00066]
τοὺς [00002] [00005] [00008] [00011] [00012] [00012] [00014] [00014] [00015] [00033] [00041] [00044] [00050] [00054] [00055] [00059] [00066]
Τούτου [00066]
Τούτῳ [00027]
τούτῳ [00055]
τραύμασι [00023] [00047]
τραύμασιν [00025]
τραύματα [00015]
τρέχω [00031] [00059]
τρόπων [00004]
τῷ [00010] [00015] [00018] [00019] [00023] [00025] [00043] [00048] [00054] [00054] [00054] [00054] [00060] [00060] [00065] [00066] [00066]
τῶν [00002] [00004] [00005] [00006] [00009] [00012] [00012] [00013] [00014] [00015] [00016] [00019] [00019] [00019] [00025] [00026] [00028] [00028] [00030] [00030] [00033] [00033] [00038] [00038] [00054] [00059] [00060] [00060] [00065] [00065] [00066]

Υἱοῦ [00066]
ὑμᾶς [00042]
ὑμεῖς [00036] [00048]
ὑμῖν [00050]
ὑμῶν [00033] [00034] [00036] [00048]
ὑπακούσας [00060]
ὑπερηύχετο [00055]
ὑπόδεξαι [00058]
ὑπόμνησις [00004]

φησὶ [00033] [00061]
φησι [00055]
φησὶν [00013] [00018] [00034] [00057] [00060]
φθάσαι [00019] [00060]
φθάσαντι [00054]
φθεγγομένους [00055]
φλόγα [00039]
φοβηθῆτε [00013]
φοῖνιξ [00027]
Φοινίξατέ [00047]
φόνον [00009]
φρονεῖτε [00061]
φρονοῦσιν [00009]
φυτὸν [00026]
φωνῆς [00014] [00060]

χαρακτῆρας [00025]
χάρις [00006]
χάριτι [00066]
χεῖρα [00030]
χεῖρας [00006]
χερσὶ [00006]
χιτῶνα [00025] [00048]
χορείᾳ [00025]
χορηγουμένοις [00017]
Χριστὲ [00056]
Χριστὸς [00061]

ψυχῇ [00043]
ψυχὴν [00012] [00013] [00023]
ψυχῆς [00019]

ὦ [00019]
Ὦ [00019]
ᾧ [00018]
ὠμότητα [00009]
ὡραΐζετο [00025]
ὡς [00025] [00027] [00031] [00031] [00036] [00042] [00048]
ὥσπερ [00019] [00019] [00025] [00026]
Ὥσπερ [00025]
ὥστε [00019]